TEZAUR LITURGIC

19 FEBRUARIE

# SLUJBA SF.CUVIOASE-MUCENIȚE FILOTEEA DE LA ATENA

ATENA,2020

www.tezaurliturgic.ro



# 19 ΦΕΒΡΟΥΑΡΙΟΥ
# Μνήμην τῆς Ὁσίας Μητρὸς ἡμῶν Φιλοθέης τῆς ἐξ Ἀθηνῶν

## ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ

Μετὰ τὸν Προοιμιακὸν ψαλμόν, τὸ α' Ἀντίφωνον τοῦ Μακάριος Ἀνήρ. Εἰς δὲ τὸ Κύριε ἐκέκραξα, ἱστῶμεν στίχους στ', καὶ ψάλλομεν Στιχηρὰ Προσόμοια τρία, δευτεροῦντες αὐτά.

Ἦχος δ'. Ὡς γενναῖον ἐν Μάρτυσιν.

Τὸ χρυσόχροον σκήνωμα, καὶ λαμπρότατον ἄγαλμα, τὸ χρυσεπώνυμον αὖθις ἄκουσμα, ὁ πολυποίκιλος στέφανος, τὸ στόμα τὸ πάντερπνον, ὁ ποιμὴν ὁ γαληνός, τῆς ἀγάπης ὁ σύνδεσμος, ὁ μελίῤῥυτος, ποταμὸς τῆς εἰρήνης Φιλοθέη, ὁ φωστῆρ τῶν μοναζόντων, σὺ ἀνεδείχθης λαμπρότατα.

Ὡς ἀστὴρ φαεινότατος, ἐν Ἀθήναις ἐπέλαμψας, καὶ ὡς μύρον κάλλιστον καὶ ἡδύπνοον, ὡς ἀηδὼν δὲ εὐκέλαδος, ὡς μῆλον τὸ εὔοσμον, καὶ ὡς ἥλιος φαιδρός, πανταχοῦ ἐξανέτειλας καὶ ἐφώτισας, μοναχῶν καὶ μιγάδων τὰς καρδίας, ὅθεν ἅπαντες ὑμνοῦμεν, σοῦ τὴν Ἁγίαν Μετάστασιν.

Καὶ πτωχῶν καταφύγιον, καὶ τῶν ξένων διάσωσμα, νεανίδων σύναξις Μήτερ γέγονας, ταῶν ἀσθενούντων ἐπίσκεψις, καὶ νόσων καὶ θλίψεων, ἰατρὸς καὶ ὁδηγός, τῶν ψυχῶν καὶ σωμάτων τε. Διὰ τοῦτό σε, ὁ Χριστὸς

ἀγαπήσας εἰς τὰ ἄνω, οὐρανίους ἀναπαύσεις, ἐνέθηκέ σε πανένδοξε.

Δόξα. Ἦχος πλ. Α΄.

Πάντα τὰ σά, καὶ σαυτὴν τῷ Θεῷ καθιέρωσας, νοῦν καὶ ψυχὴν καὶ καρδίαν καὶ σῶμα, τῆς φωνῆς γὰρ τοῦ Εὐαγγελίου ἀκούσασα, τὰ πάντα κατέλιπες, χρυσὸν δὲ καὶ τιμὴν ὡς οὐδὲν ἐλογίσω, καὶ ὅλη γέγονας τοῦ Χριστοῦ οἶκος ἔνδοξος, ὅθεν καὶ ἀνέκραζες πᾶσι τοῖς φοιτῶσι πρὸς σέ· καταλείψατε τὰ φθαρτὰ καὶ ἐπίκηρα, καὶ ποθήσατε τὸν σταυρωθέντα Χριστὸν τὸν Θεὸν ἡμῶν, διὰ τοῦτο ὁ Χριστὸς ἰδών σου τὸ εὐγενὲς τῆς ψυχῆς, ἐλθὼν παρὰ σοὶ κατοικεὶν ᾑρετίσατο. Αὐτὸν οὖν καθικέτευε Φιλοθέη χρυσόηθε, σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Καὶ νῦν. Θεοτοκίον.

Ἐν τῇ ἐρυθρὰ θαλάσσῃ τῆς ἀπειραγάμου Νύμφης εἰκὼν διεγράφη ποτέ. Ἐκεῖ Μωϋσῆς διαιρέτης τοῦ ὕδατος, ἐνθάδε Γαβριὴλ ὑπηρέτης τοῦ θαύματος, τότε τὸν βυθόν ἐπέζευσεν ἀβρόχως, Ἰσραήλ, νὺν δὲ τὸν Χριστὸν ἐγέννησεν ἀσπόρως ἡ Παρθένος, ἡ θάλασσα μετὰ τὴν πάροδον τοῦ Ἰσραήλ, ἔμεινεν ἄβατος, ἡ ἄμεμπτος μετὰ τὴν κύησιν τοῦ Ἐμμανουήλ, ἔμεινεν ἄφθορος, ὁ ὢν καὶ προῶν, καὶ φανεῖς ὡς ἄνθρωπος, Θεὸς ἐλέησον ἡμᾶς.

Φῶς ἱλαρόν. Τὸ Προκείμενον τῆς ἡμέρας. Καὶ τὰ Ἀναγνώματα.

Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα.(Κέφ. Γ', 1-9)

Δικαίων ψυχαὶ ἐν χειρὶ Θεοῦ καὶ οὐ μὴ ἅψηται αὐτῶν βάσανος. Ἔδοξαν ἐν ὀφθαλμοῖς ἀφρόνων τεθνάναι καί ἐλογίσθη κάκωσις ἡ ἔξοδος αὐτῶν καὶ ἡ ἀφ᾽ ἡμῶν πορεία σύντριμμα, οἱ δέ εἰσιν ἐν εἰρήνῃ. Καὶ γὰρ ἐν ὄψει ἀνθρώπων ἐὰν κολασθῶσιν ἡ ἐλπὶς αὐτῶν ἀθανασίας πλήρης· καὶ ὀλίγα παιδευθέντες μεγάλα εὐεργετηθήσονται, ὅτι ὁ Θεὸς ἐπείρασεν αὐτοὺς καὶ εὐρεν αὐτοὺς ἄξιους ἑαυτοῦ· ὡς χρυσὸν ἐν χωνευτηρίῳ ἐδοκίμασεν αὐτοὺς καὶ ὡς ὁλοκάρπωμα θυσίας προσεδέξατο αὐτούς. Καὶ ἐν καιρῷ ἐπισκοπῆς αὐτῶν ἀναλάμψουσι καὶ ὡς σπινθῆρες ἐν καλάμῃ διαδραμοῦνται· κρινοῦσιν ἔθνη καὶ κρατήσουσι λαῶν καὶ βασιλεύσει αὐτῶν Κύριος είς τοὺς αἰῶνας. Οἱ πεποιθότες ἐπ᾽ αὐτῷ συνήσουσιν ἀλήθειαν καὶ οἱ πιστοὶ ἐν ἀγάπῃ προσμενοῦσιν αὐτῷ, ὅτι χάρις καί ἔλεος ἐν τοῖς ὁσίοις αὐτοῦ καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα (Κεφ. Δ'. 7-15).

Δίκαιος ἐὰν φθάσῃ τελευτῆσαι, ἐν ἀναπαύσει ἔσται. Γῆρας γὰρ τίμιον, οὐ τὸ πολυχρόνιον, οὐδὲ ἀριθμῷ ἐτῶν μεμέτρηται. Πολιὰ δέ ἐστι φρόνησις ἀνθρώποις· καὶ ἡλικίᾳ γήρως, βίος ἀκηλίδωτος. Εὐάρεστος Θεῷ γενόμενος ἠγαπήθη, καὶ ζῶν μεταξὺ ἁμαρτωλῶν μετετέθη. Ἡρπάγη, μὴ κακία ἀλλάξῃ σύνεσιν αὐτοῦ, ἤ δόλος ἀπατήσῃ ψυχὴν αὐτοῦ. Βασκανία γὰρ φαυλότητος ἀμαυροῖ τὰ καλά, καὶ ῥεμβασμὸς

ἐπιθυμίας μεταλλεύει νοῦν ἄκακον. Τελειωθεὶς ἐν ὀλίγῳ, ἐπλήρωσε χρόνους μακρούς· ἀρεστὴ γὰρ ἦν Κυρίῳ ἡ ψυχὴ αὐτοῦ· διὰ τοῦτο ἔσπευσεν ἐκ μέσου πονηρίας. Οἱ δὲ λαοὶ ἰδόντες, καὶ μὴ νοήσαντες, μηδὲ θέντες ἐπὶ διανοίᾳ τὸ τοιοῦτον, ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς ὁσίοις αὐτοῦ, καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα

(Κεφ. Ε'. 15-23 & ΣΤ', 1-3).

Δίκαιοι εἰς τὸν αἰῶνα ζῶσι, καὶ ἐν Κυρίῳ ὁ μισθὸς αὐτῶν, καὶ ἡ φροντὶς αὐτῶν παρὰ Ὑψίστῳ. Διὰ τοῦτο λήψονται τὸ βασίλειον τῆς εὐπρεπείας, καὶ τὸ διάδημα τοῦ κάλλους ἐκ χειρὸς Κυρίου· ὅτι τῇ δεξιᾷ αὐτοῦ σκεπάσει αὐτούς, καὶ τῷ βραχίονι ὑπερασπιεῖ αὐτῶν. Λήψεται πανοπλίαν τὸν ζῆλον αὐτοῦ, καὶ ὁπλοποιήσει τὴν κτίσιν εἰς ἄμυναν ἐχθρῶν· ἐνδύσεται θώρακα δικαιοσύνης, καὶ περιθήσεται κόρυθα, κρίσιν ἀνυπόκριτον· λήψεται ἀσπίδα ἀκαταμάχητον, ὁσιότητα· ὀξυνεῖ δὲ ἀπότομον ὀργὴν εἰς ῥομφαῖαν· συνεκπολεμήσει αὐτῷ ὁ κόσμος ἐπὶ τοὺς παράφρονας. Πορεύσονται εὔστοχοι βολίδες ἀστραπῶν, καὶ ὡς ἀπὸ εὐκύκλου τόξου τῶν νεφῶν, ἐπὶ σκοπὸν ἁλοῦνται, καὶ ἐκ πετροβόλου θυμοῦ πλήρεις ῥιφήσονται χάλαζαι. Ἀγανακτήσει κατ᾽ αὐτῶν ὕδωρ θαλάσσης, ποταμοὶ δὲ συγκλύσουσιν ἀποτόμως. Ἀντιστήσεται αὐτοῖς πνεῦμα δυνάμεως, καὶ ὡς λαίλαψ ἐκλικμήσει αὐτούς. Καὶ ἐρημώσει πᾶσαν τὴν γῆν ἀνομία, καὶ ἡ κακοπραγία περιτρέξει θρόνους

δυναστῶν. Ἀκούσατε οὖν βασιλεῖς, καὶ συνέτε· μάθετε, δικασταὶ περάτων γῆς. Ἐνωτίσασθε οἱ κρατοῦντες πλήθους, καὶ γεγαυρωμένοι ἐπὶ ὄχλοις ἐθνῶν. Ὅτι ἐδόθη παρὰ Κυρίου ἡ κράτησις ὑμῖν, καὶ ἡ δυναστεία παρὰ Ὑψίστου.

Εἰς τὴν Λιτήν.

Ἰδιόμελα. Ἦχος α'.

Ἡ σοφὴ Φιλοθέη σήμερον, εἰς οὐρανοὺς ἀνελθοῦσα, τῷ ἐν Τριάδι Θεῷ συμπαρίσταται, καὶ τὸν τρισάγιον ὕμνον ᾄδει ἀκαταπαύστως, σὺν τοῖς ἀΰλοις χοροῖς, καὶ τοῖς Ἁγίοις ἅπασι. Δεῦτε οὖν καὶ ἡμεῖς δοξάσωμεν τὴν ἁγίαν αὐτῆς κοίμησιν, ἐν ψαλμοῖς καὶ ὕμνοις, βοῶντες πρὸς αὐτήν· ταῖς πρεσβείαις σου Μῆτερ, σῶζε τὴν ποίμνην σου, καὶ διαφύλαττε ταύτην ἐκ τῶν σκανδάλων τοῦ πολεμήτορος.

Ὁ αὐτός.

Εὐφημήσωμεν οἱ πιστοί, τὴν Φιλοθέην σήμερον, καλῶς γὰρ ἀγωνισαμένη, καὶ τὸν Σταυρὸν τοῦ Χριστοῦ ἐπ' ὤμων βαστάσασα, ἀόκνως τὰς τούτου ἐντολὰς τελέσασα, οἰκητήριον γέγονε τοῦ Ἁγίου Πνεύματος· νῦν δὲ καταλιποῦσα τὰ ἐν κόσμῳ, ταῖς οὐρανίαις συναγάλλεται ταξιαρχίαις, καὶ πρεσβεύει τῷ Κυρίῳ ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

Ἦχος β'.

Τοῦ πλούτου τὴν ποσότητα, ἐν ταῖς τῶν πτωχῶν χερσὶ παραθεμένη, ἀντὶ τούτου ἐκτήσω πλοῦτον οὐράνιον· δόξας δὲ καὶ ἡδονὰς καταφρονήσασα, καὶ ἀσκητικῶς

διελθοῦσα, πειρασμούς τε πολλοὺς ὑπενήνοχας, μαρτυρικῶς τὸ ζῆν ἀφαιρεθεῖσα καρτερώτατα, δι' ἀγάπην τοῦ Κτίσαντος, Φιλοθέη πανέντιμε. Αὐτὸν οὖν πρέσβευε σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Ὁ αὐτός.

Ὁσία Μῆτερ, ἀγγελικὴν ζηλώσασα διαγωγήν, ἀσιτίαν ἐξήσκησας, καὶ ὕμνον ἀκατάπαυστον τῷ Δεσπότῃ προσήνεγκας, ἐντεῦθεν προαισθόμενος οὖν ὁ βλέπων τὰ κρύφια, τῆς ψυχῆς σου τὴν πρόθεσιν, χαρίτων σε θείων κατηξίωσεν, ἐναργῆ σοι παρέχων τὰ σύμβολα, τῆς ἐκεῖ μενούσης σε ἀϊδίου μακαριότητος, πρὸς ἥν ἤδη μεταστᾶσα καὶ ταῖς ἀΰλοις χορείαις συνδιαιτωμένη, μὴ διαλίπῃς πρεσβεύειν ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Δόξα. Ἦχος πλ. Δ΄.

Ἡ καθαρὰ τοῦ Πνεύματος τοῦ Ἁγίου σοφία, σκηνώσασα ἐν τῇ καθαρᾷ καρδίᾳ σου, παμμακάριστε Φιλοθέη, κατὰ πνευμάτων τῆς πονηρίας φοβερόν σε διώκτην ἀνέδειξε, καὶ μεγίστων νοσημάτων ἰατῆρα πανάριστον. Διὸ παῤῥησίαν κεκτημένη πρὸς τὸν φιλάνθρωπον Θεόν, τῇ ἀπαύστῳ πρεσβείᾳ σου, τῶν ψυχικῶν ἡμᾶς παθῶν καὶ σωματικῶν ἐλευθέρωσον.

Καὶ νῦν. Θεοτοκίον.

Δέσποινα πρόσδεξαι, τὰς δεήσεις τῶν δούλων σου, καὶ λύτρωσαι ἡμᾶς, ἀπὸ πάσης ἀνάγκης καὶ θλίψεως.

Εἰς τὸν Στίχον.

Χαίροις ἀσκητικῶν. Ἦχος πλ. Α΄.

Χαίροις, ὁ γαληνότατος νοῦς, ἡ ἱλαρᾷ καὶ τῇ μορφῇ καὶ τοῖς ὄμμασιν, ἡ πράξει καὶ θεωρίᾳ κεκοσμηκυῖα σαυτήν, καὶ τὸν νοῦν ὑψώσασα πρὸς Κύριον, ὁρῶσα τὴν τούτου, ἀληθῆ δόξαν ἔνδοξε, καὶ λαμπομένη, παρ' Αὐτοῦ θείαν ἔλλαμψιν, ἀξιάγαστε, Φιλοθέη ἀείμνηστε. Μέμνησο οὖν πρὸς Κύριον, δεόμεθα πάντερπνε, τῶν ἐκτελούντων τὴν μνήμην, καὶ προσκυνούντων τὰ λείψανα, τυχεῖν σαῖς πρεσβείαις, σωτηρίας καὶ εἰρήνης, καὶ τοῦ ἐλέους αὐτού.

Στιχ. Ὑπομένων, ὑπέμεινα τὸν Κύριον, καὶ προσέσχε μοι καὶ εἰσήκουσε τῆς φωνῆς τῆς δεήσεώς μου.

Χαίροις, μοναζουσῶν καλλονή, καὶ τῶν μιγάδων ἀδιάσειστον ἔρεισμα, καὶ πάντων τῶν πενομένων καὶ τῶν νοσούντων ὁμοῦ, καὶ νηπίων μέγα καταφύγιον, καὶ ξένων ἐπίσκεψις, ὀρφανῶν παραμύθιον, Μήτηρ γὰρ τούτων, καὶ ποιμὴν ἐχρημάτισας, καὶ διέσωσας, ἀπὸ ζάλης καὶ θλίψεως, ὅθεν τὴν μακαρίαν σου, καὶ θείαν μετάστασιν, ἀνευφημοῦμεν Ὁσία, καὶ μεγαλύνομεν σήμερον, σεπτὴ Φιλοθέη, διὸ πρέσβευε Κυρίῳ, ἐλεηθῆναι ἡμᾶς.

Στιχ. Καὶ ἔστησεν ἐπὶ πέτρας τοὺς πόδας μου καὶ κατηύθηνε ταὰ διαβήματά μου.

Πάντας, τοὺς πρὸ Χριστοῦ τοῦ Θεοῦ, καὶ μετὰ τοῦτον ἐναρέτους ἐζήλωσας. Δαυῒδ γὰρ ταὸ πρᾷον ἔσχες, καὶ Σολομῶντος σεμνή, τὴν σοφίαν ὄντως τὴν πανθαύμαστον, Σαμψὼν τὴν ἀνδρείαν, καὶ Ἀβραὰμ τὸ

φιλόξενον, ὑπομονήν τε, τοῦ Ἰὼβ καὶ Προδρόμου δέ, θείαν ἄσκησιν, Ἀντωνίου καὶ Σάββα τε, χρύσεα ἤθη, Μῆτέρ μου, σεπτοῦ Χρυσοῤῥήμονος, καὶ τῶν Ἁγίων ἁπάντων, τὰ ἀγλαὰ κατορθώματα, διὸ καὶ χορεύεις, μετὰ πάντων τῶν Ἀγγέλων, καὶ τῶν Ὁσίων σεμνή.

Δόξα. Ἦχος πλ. Β'.

Μνήμη δικαίου, Σολομὼν φησί, μετ᾽ ἐγκωμίων τελεῖται, καὶ ὁ λαὸς σὸν αὐτῷ ἀγάλλεται, τοῦτο γὰρ αὐτὸς αἰνιττόμενος ἐφθέγξατο· ἐγκωμιαζομένου δικαίου εὐφρανθήσονται λαοί, διὸ Μῆτερ Φιλοθέη, καὶ ἡμεῖς πιστῶς τὴν μνήμην σου τιμῶντες, καὶ προσκυνοῦντες ἀξίως, τὸ θεῖον καὶ σεβάσμιόν σου σκῆνος, ἐν ψαλμοῖς καὶ ὕμνοις φιλοφρόνως ἐγκωμιάζομεν. Πρέσβευε οὖν δεόμεθα, ὑπὲρ εἰρήνης τοῦ κόσμου, καὶ σωτηρίας τῶν ψυχῶν ἡμῶν.

Καὶ νῦν. Θεοτοκίον.

Θεοτόκε, σὺ εἶ ἡ ἄμπελος ἡ ἀληθινή, ἡ βλαστήσασα τὸν καρπὸν τῆς ζωῆς, σὲ ἱκετεύομεν, πρέσβευε Δέσποινα, μετὰ τῶν Ἀποστόλων, καὶ πάντων τῶν Ἁγίων, ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

Νῦν ἀπολύεις. Τρισάγιον.

Ἀπολυτίκιον. Ἦχος α'.

Τῆς ἐρήμου πολίτης. (Ἰωάννου Μαρτίνου).

Ἀθηνῶν τῶν κλεινῶν τε νῦν καὶ πάλαι τὸ βλάστημα, καὶ τῶν χθὲς καὶ πρώην Ὁσίων τὸ ἀρίζηλον καύχημα, τιμήσωμεν ἐν ὕμνοις οἱ πιστοί, Ὁσίαν Φιλοθέην εὐλαβῶς· ὅτι τὸν Χριστὸν εὐτόνως, πάντων τῶν γεηρῶν

ἀντήλλαξεν, ἔχουσα οὖν συμπρεσβευτήν, τὸν παμμέγαν Διονύσιον, σῶζε τοὺς προσκυνοῦντας, εὐσεβῶς τὸ πάνσεπτον σκῆνός σου.

## ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Μετὰ τὴν α΄ στιχολογίαν, κάθισμα.

Ταχὺ προκατάλαβε. Ἦχος δ΄.

Ἀνέδειξε σήμερον τὴν Φιλοθέην πιστοί, ἡ θείας Μητρόπολης τῶν Ἀθηνῶν καὶ λαμπρά, ὡς μέγα θησαύρισμα, πάντες οὖν ἐν αἰνέσει, ἐν τῇ ταύτῃ κηδείᾳ, ᾄσμασι θεηγόροις εὐφημήσωμεν ταύτην, βοῶντες ταύτῃ ἐκτενῶς· σῶσον ἡμᾶς ταῖς πρεσβείαις σου.

Δόξα. Τὸ αὐτό. Καὶ νῦν. Θεοτοκίον.

Τὴν χάριν νῦν ἅπαντες ἀνευφημήσωμεν, Μητρὸς τοῦ Θεοῦ ἡμῶν, ὡς δι᾽ αὐτῆς τὴν χαράν, τῷ κόσμῳ αὐγάσαντος. Λύσιν τῆς ἁμαρτίας εὑραμένη ἡ φύσις, ἅπασα τῶν ἀνθρώπων, γηθομένη κραυγάζει· εὐχαῖς Αὐτῆς Κύριε, ῥῦσαι ἡμᾶς τῶν δεινῶν.

Μετὰ τὴν β΄ στιχολογίαν, κάθισμα.

Τὴν Σοφίαν. Ἦχος πλ. Δ΄.

Καθαρθεῖσα τὸ σῶμα καὶ τὴν ψυχήν, καὶ τὰς φρένας καρδίαν καὶ λογισμόν, δοχεῖον γεγένησαι, καὶ λαμπρὸν οἰκητήριον, τῆς Ἁγίας Τριάδος, Ὁσία ἀοίδιμε, τῶν Ἀθηνῶν τὸ κλέος, Φιλοθέη πανεύφημε[5], ὅθεν συνελθόντες, οἱ πιστοὶ κατὰ

χρέος, γεραίρομεν ἅπαντες, τὴν ἁγίαν σου κοίμησιν, καὶ πιστῶς ἐκβοῶμέν σοι· Πρέσβευε Χριστῷ τῷ Θεῷ, τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι, τοῖς ἑορτάζουσι πόθῳ τὴν ἁγίαν μνήμην σου.

Δόξα. Τὸ αὐτό. Καὶ νῦν. Θεοτοκίον.

Ἀστραπόμορφον ἅρμα βασιλικόν, πορφυρίζουσα κλίνη, θρόνε χρυσέ, παλάτιον πάντερπνον, καὶ παστὰς θεαυγέστατε, παναγιωτάτη σκηνὴ ἁλουγόχροε, ὡραϊσμένη πύλη ναὲ θεοδόξαστε, ὄχημα τοῦ Λόγου, τὸ παγκόσμιον ὄντως, καὶ κλίμαξ χρυσόπλοκε, χρυσαυγίζουσα γέφυρα, καὶ χρυσήλατε τράπεζα, χαῖρε θεία λαβίς, καὶ φωτώνυμε, παναγιωτάτη Μήτηρ Θεοῦ τοῦ Παντάνακτος.

Μετὰ τὸν Πολυέλεον, κάθισμα.

Κατεπλάγη Ἰωσήφ. Ἦχος δ΄.

Δεῦτε πάντες οἱ πιστοί, ἐν ὑμνῳδίαις ἱεραῖς, καταστέψωμεν φαιδρῶς, καὶ μεγαλύνωμεν πιστῶς, τὴν ἐν Ἀθήναις ἐκλάμψασα εὐσεβοφρόνως, καὶ κράξωμεν αὐτῇ, ἐν κατανύξει ψυχῆς, καὶ χείλεσιν ἁγνοῖς, καὶ ἐν καρδίᾳ φαιδρᾷ· παρισταμένη Μῆτερ οὖν πᾶσι τοῖς Ἁγίοις ἐν τῷ φωτὶ του Παντάνακτος, πρεσβείαν ποίει, ὑπὲρ τῶν δούλων, τῶν πιστῶς εὐφημούντων σε.

Δόξα. Καὶ νῦν. Θεοτοκίον.

Δοχεῖον ὤφθη ἐκλεκτόν, Παρθενομῆτορ Μαριάμ, καὶ θρόνος πύρινος Θεοῦ, καὶ κλίνη πάγχρυσος σεμνή, πεποικιλμένη καθέδρα τοῦ Βασιλέως, οἶκος καὶ

παλάτιον πάντερπνον, νεφέλη χρυσαυγὴς καὶ ἀείφωτος, καὶ κιβωτὸς καὶ στάμνος μανναδόχος, καὶ χρυσοπόρφυρος θάλαμος, διὸ τὸ χαῖρε, σὺν τῷ Ἀγγέλῳ καὶ ἡμεῖς μελῳδοῦμέν σοι.

Οἱ Ἀναβαθμοί, τὸ α’ Ἀντίφωνον τοῦ δ’ Ἦχου.

Ἐκ νεότητός μου πολλὰ πολεμεῖ με πάθη, ἀλλ᾽ αὐτὸς ἀντιλαβοῦ, καὶ σῶσον Σωτήρ μου. (δίς)

Οἱ μισοῦντες Σιών, αἰσχύνθητε ἀπὸ τοῦ Κυρίου· ὡς χόρτος γάρ, πυρὶ ἔσεσθε ἀπεξηραμμένοι. (δίς)

Δόξα...

Ἁγίῳ Πνεύματι πᾶσα ψυχὴ ζωοῦται, καὶ καθάρσει ὑψοῦται λαμπρύνεται, τῇ τριαδικῇ Μονάδι ἱεροκρυφίως.

Καὶ νῦν...

Ἁγίῳ Πνεύματι, ἀναβλύζει τὰ τῆς χάριτος ῥεῖθρα, ἀρδεύοντα ἅπασαν τὴν κτίσιν, πρὸς ζωογονίαν.

Προκείμενον Ἦχος δ'

Ὑπομένων ὑπέμεινα τὸν Κύριον, καὶ προσέσχε μοι καὶ εἰσήκουσε τῆς φωνῆς τῆς δεήσεώς μου.

Στίχ. Δίκαιος ὡς φοίνιξ ἀνθήσει καὶ ὡσεὶ κέδρος ἡ ἐν τῷ Λιβάνῳ πληθυνθήσεται.

Εὐαγγέλιον Ἐκ τοῦ κατὰ Μάρκον [Κεφ. 5: 24-34]

Τῷ καιρῷ ἐκείνῳ, ἠκολούθει τῷ ᾿Ιησοῦ ὄχλος πολύς, καὶ συνέθλιβον αὐτόν. Καὶ γυνή τις οὖσα ἐν ῥύσει αἵματος ἔτη δώδεκα, καὶ πολλὰ παθοῦσα ὑπὸ πολλῶν ἰατρῶν, καὶ δαπανήσασα τὰ παρ᾽ ἑαυτῆς πάντα, καὶ

μηδέν ὠφεληθεῖσα, ἀλλὰ μᾶλλον εἰς τὸ χεῖρον ἐλθοῦσα· ἀκούσασα περὶ τοῦ Ἰησοῦ, ἐλθοῦσα ἐν τῷ ὄχλῳ ὄπισθεν, ἥψατο τοῦ ἱματίου αὐτοῦ· ἔλεγε γὰρ· Ὅτι κἂν τῶν ἱματίων αὐτοῦ ἅψωμαι, σωθήσομαι. Καὶ εὐθέως ἐξηράνθη ἡ πηγὴ τοῦ αἵματος αὐτῆς· καὶ ἔγνω τῷ σώματι, ὅτι ἴαται ἀπὸ τῆς μάστιγος. Καὶ εὐθέως ὁ Ἰησοῦς ἐπιγνοὺς ἐν ἑαυτῷ τὴν ἐξ αὐτοῦ δύναμιν ἐξελθοῦσαν, ἐπιστραφεὶς ἐν τῷ ὄχλῳ, ἔλεγε· Τίς μου ἥψατο τῶν ἱματίων; Καὶ ἔλεγον αὐτῷ οἱ Μαθηταὶ αὐτοῦ· Βλέπεις τὸν ὄχλον συνθλίβοντά σε, καὶ λέγεις· Τίς μου ἥψατο; Καί περιεβλέπετο ἰδεῖν τὴν τοῦτο ποιήσασαν. Ἡ δὲ γυνὴ, φοβηθεῖσα καὶ τρέμουσα, εἰδυῖα ὃ γέγονεν ἐπ᾽ αὐτῇ, ἦλθε καὶ προσέπεσεν αὐτῷ, καὶ εἶπεν αὐτῷ πᾶσαν τὴν ἀλήθειαν. Ὁ δὲ εἶπεν αὐτῇ· Θύγατερ, ἡ πίστις σου σέσωκέ σε· ὕπαγε εἰς εἰρήνην, καὶ ἴσθι ὑγιὴς ἀπὸ τῆς μάστιγός σου.

Ν’ Ψαλμός χύμα.

Δόξα: Ταῖς τῆς Φιλοθέης...

Καὶ νῦν... Ταῖς τῆς Θεοτοκου...

Στίχ. Ἐλέησόν με ὁ Θεός...

Ἰδιόμελον. Ἦχος πλ. Β΄

Μύρον ἐν Ἀθήναις ἀνεδείχθης, Φιλοθέη χρυσόηθε, μυρίζουσα τὰ καρδίας τῶν πιστῶν, τοῖς μυριπνόοις σου διδάγμασιν, ἀλλὰ μύρισον καὶ ἡμῶν τὰς καρδίας νοητῶς, τῶν ἐν πίστει τελούντων τὴν σεβάσμιον μνήμην σου.

Οἱ Κανόνες· τῆς Θεοτόκου (βλέπε Θεοτοκάριον Ἀγαπίου, ἦχος πλ. Δ', Κυριακὴ ἑσπέρας)· καὶ τῆς Ἁγίας, οὗ ἡ Ἀκροστιχίς: Μέλος σοι τερπνὸν ὦ Θεοῦ φίλη ᾄδω. Ἰσαάκ.

Ὠδὴ α'. Ἦχος δ'. Ἀνοίξω τὸ στόμα μου.

Μονὰς ἅς ἐπόθησας τὰς οὐρανίους θεόληπτε, νῦν εὗρες ὦ Μῆτέρ μου, μισθὸν τῶν πόνων σου, ὧν ὑπήνεγκας, ἐν τῷ παρόντι βίῳ, εὐχαῖς καὶ δεήσεσι Κυρίῳ ᾄδουσα.

Ἐλίους σῦ ἄφθονος πηγὴ Ὁσία τεθέασαι, πτωχοὺς καταρδεύουσα, πλουσιωτάταις ῥοαῖς, ὅθεν στέφανον, σῇ κορυφῇ ἐδέξω, ἀξίως ὧν ἔσπειρας σῶν γεωργίων καρπῶν.

Λαλεῖν σοι οὐ δύναμαι τῶν ἀρετῶν τὴν εὐπρέπειαν, καὶ ὕψος τὸ ἔνθεον, ᾧ ὡραΐσθης σεμνή, καὶ ἀνύψωσας, πρὸς τὰς ἐπουρανίους, σκηνώσεις καὶ δεδόξασαι παρὰ τοῦ πάντων Θεοῦ.

Θεοτοκίον.

Ὁλόκληρον φύλαττε τὴν ποίμνην Παναγία Δέσποινα, Μαρία Θεόνυμφε, ἥν ἡ Φιλοθέη κατῳκίσατο, ἐνθάδε τοῦ δοξάζειν, τὸν ἄσπορον τόκον Σου, καὶ Σὲ Παρθένε Ἁγνή.

Ὠδὴ γ'. Τοὺς Σοὺς ὑμνολόγους.

Σὺ τὸν πλοῦτον ἔνειμας Ὁσία, τὸν σὸν δεομένον τὸν ῥευστόν, και γὰρ ἐν τούτῳ πάνσεπτε, καυχᾶσθαι οὐ προήρησαι, ἀλλ' ἀντὶ τούτου δέδεξαι, σῇ κορυφῇ δόξης στέφανον.

Σαῖς προσευχαῖς πρὸς τὸν Δεσπότην, περίσωζε ἀεὶ τὴν ποίμνην τὴν σήν, καταγεραίρουσάν σε πάνσεμνε, ὡς θεῖον ἐνδιαίτημα, ἐν οἴκῳ τοῦ Θεοῦ ἡμῶν, κατὰ δαιμόνων ἐνίσχυσον.

Ὁδὸν τὴν ἀπάγουσαν εἰς ἄνω, εὑροῦσα διώδευσας σεμνῶς, ὅθεν καὶ πρὸς οὐράνιον, ἐλήλυθας πολίτευμα, καὶ τοῖς Ὁσίοις ἅπασιν, Ὁσία συγκατηρίθμησαι.

Θεοτοκίον.

Ἰάσεις παρέχουσα παντοίας, τοῖς πόθῳ τιμῶσί Σου Ἁγνή, τὸν Τόκον τὸν ἐκ Πνεύματος, Ἁγίου συλληφθέντα Σοι, παράσχου καὶ τοῖς δούλοις Σου, ἡμῖν πταισμάτων ἄφεσιν.

Κάθισμα. Ἦχος πλ. Δ΄. Τὸ προσταχθέν.

Καταλιποῦσα, τὰ τῆς γῆς ὦ Φιλοθέη, μετέστης ἄνω πρὸς μονὰς τὰς οὐρανίους, καὶ πρεσβεύεις σὺν πᾶσι τοῖς ἐπουρανίοις, Ὁσίοις ἅμα Δικαίοις καὶ τοῖς λοιποῖς, καὶ πᾶσι τοῖς ἄνω Νόοις καὶ Λειτουργοῖς, καὶ κραυγάζειν τό· Ἅγιος Ἅγιος Ἅγιος εἶ Θεὲ ὑπεράγαθε, σῶζε πάντας οὕς ἔπλασας.

Δόξα. Καὶ νῦν. Θεοτοκίον.

Θεοχαρίτωτε, Ἁγνὴ εὐλογημένη, τὸν διὰ σπλάγχνα οἰκτιρμῶν ἐκ Σοῦ τεχθέντα, σὺν ταῖς ἄνω Δυνάμεσι καὶ τοῖς Ἀρχαγγέλοις, καὶ πᾶσι τοῖς Ἀσωμάτοις ὑπὲρ ἡμῶν, δυσώπει ἀκαταπαύστως δοῦναι ἡμῖν, πρὸ τοῦ τέλους συγχώρησιν, καὶ ἱλασμὸν ἁμαρτιῶν, καὶ βίου ἐπανόρθωσιν, ὅπως εὕρωμεν ἔλεος.

Ὠδὴ δ΄. Ὁ καθήμενος ἐν δόξῃ.

Τὴν Ὁσίαν Φιλοθέην φιλοφρόνως τιμήσωμεν, ἐν ᾠδαῖς ᾀσμάτων ταύτην εὐσεβῶς μεγαλύνοντες, αὕτην γὰρ ὤφθη δοχεῖον Θείου Πνεύματος, καὶ πεφώτισται, τούτου ταῖς θείαις λαμπρότησι.

Ἐπὶ θρόνου καθημένη θείας δόξης πανθαύμαστε, τοὺς τὴν σὴν τελοῦντας μνήμην εὐσεβῶς διαφύλαττε, ταῖς σαῖς πρεσβείαις ὦ Μῆτερ ταῖς πρὸς Κύριον, ᾧ βοᾶς ἀεί· Δόξα Χριστὲ τῇ δυνάμει Σου.

Ῥωμαλαίᾳ διανοίᾳ καὶ γενναίῳ φρονήματι, τὰς Κυρίου Μῆτερ πάσας ἐντολὰς ἐκτετέλεκας, ὡς κτησαμένη ἀγάπην τὴν πρὸς Κύριον, καὶ τοῦ τέλους, τελείαν Ὁσία ἀείμνηστε.

Θεοτοκίον.

Παναγία Θεοτόκε τοὺς εἰς Σὲ καταφεύγοντας, ἐκ κινδύνων ῥῦσαι πάντων καὶ σκανδάλων τοῦ ὄφεως, τῆς Φιλοθέης πρεσβείαις ἧν δοξάζομεν, μετὰ Σὲ καὶ γὰρ ὤφθη Κυρίῳ δουλεύουσα.

Ὠδὴ ε΄. Ἐξέστη τὰ σύμπαντα.

Μόνην τὴν φερέσβιον, εὑροῦσα κατετρύφησας, πᾶσαν θειοτέραν θεωρίαν, δι’ ἧς ἀνήχθης εἰς θείαν ὄντως ζωήν, και γέγονας πᾶσι τοῖς πιστῶς, ἐπικαλουμένοις σε, ἐναντίων ὑπέρμαχος.

Ὁ βίος σου ἔνθεος, καὶ ἀρεταὶ θαυμάσιαι, καὶ τὰ κατορθώματα γενναῖα, ὅθεν καὶ δόξης πλείστης ἠξίωσαι, τῆς ἄνωθεν Μῆτερ ἐκ Θεοῦ, ὅνπερ καθικέτευε, ὑπὲρ τῶν ἀνυμνούντων σε.

Νοῦς ἅπας ἀνθρώπινος, ἀδύνατον λογίσασθαι, τοὺς κινδύνους Μῆτερ καὶ τὰς θλίψεις, ἅσπερ ὑπέστης ὑπὸ τῶν ἔξωθεν[6], ἀκλόνητον σχοῦσα λογισμόν, πίστει τῇ πρὸς τὸν Κύριον, οὗ τὸν λόγον τετήρηκας.

Θεοτοκίον.

Ὦ Πάναγνε Δέσποινα, τὸν Κύριον ἡ τέξασα, σῶζε τοὺς εἰς Σὲ τεθαῤῥηκότας, καὶ τῆς μελλούσης πάντας κολάσεως, ἀπάλλαξον Ἄχραντε σεμνή, παῤῥησίαν ἔχουσα, μητρικὴν πρὸς τὸν Κύριον.

Ὠδὴ στ᾽. Τὴν θείαν ταύτην.

Θεοῦ, ὡς Παῦλος ὑπάρξασα, γεώργιον Ὁσία ἀπέδωκας, ἑκατοστεύοντα, τῶν ἀρετῶν σου τὸν ἔνθεον, καρπὸν Χριστῷ τῷ σὲ γεωργήσαντι.

Ἐκπλήττει πᾶσαν διάνοιαν, βροτῶν τὰ παρὰ σοῦ νῦν τελούμενα, ψυχὰς ἀνθέλκης γάρ, ἐζοφωμένας τοῖς πταίσμασι, πρὸς θεῖον φῶς Ὁσία, τοῖς σοῖς διδάγμασι.

Ὁσίαν, ᾧδε διάξασα, νῦν εὗρες[7] Μῆτερ οὐράνιον, ἧς καθικέτευε, ἀξιωθῆναι τοὺς δούλους σου, τοὺς σὲ νῦν εὐλαβῶς μακαρίζοντας.

Θεοτοκίον.

Ὑμνοῦμεν, Ἄχραντε Δέσποινα, τὸν Τόκον Σου ἀσπόρως ἐκλάμψαντα, ἐκ Σοῦ Θεόνυμφε, καὶ Σὲ Παρθένε γεραίρομεν, ᾠδαῖς ἀπαύστοις ὡς Ἁγνὴν Θεομήτορα.

Κοντάκιον. Ἦχος γ'. Ἡ Παρθένος σήμερον.

Μνηστευθεῖσα ἄμωμε, τῷ τοῦ Πατρὸς θείῳ Λόγῳ, καθαρὸν καὶ ἄσπιλον, αὐτῷ σαυτὴν διετήρεις, ὅθεν σε, πρὸς τὸν νυμφῶνα τῆς ἄνω δόξης, κέκληκεν, ὁ σὸς Νυμφίος, ᾧ συναγάλλῃ και πρεσβεύει Φιλοθέη, σωθῆναι πάντας ἡμᾶς ἀξιάγαστε.

Οἶκος.

Πᾶσα γλῶσσα κινείσθω, πρὸς εὐφημίαν τῆς πανευφήμου Φιλοθέης, ἅπαν γένος καὶ ἡλικία πᾶσα, νεανίσκοι καὶ παρθένοι τοῦ Χριστοῦ, τὴν μυροβλύτισσα ἐγκωμίοις καταστέψωμεν. Νομίμως γὰρ ἀνδρισαμένη, καὶ τὸ χαῦνον τοῦ θήλεος ἀποῤῥίψασα, δι᾽ ἀσκητικῶν πόνων τὸν τύραννον ἐχθρὸν καταβέβληκεν. Οὐρανίῳ δὲ καὶ θείῳ στέφει κοσμουμένη, αἰτεῖται παρὰ Χριστοῦ, δοθῆναι ἡμῖν τὸ μέγα ἔλεος.

Συναξάριον.

Τῇ ΙΘ' τοῦ αὐτοῦ μηνός, μνήμην ἐπιτελοῦμεν τῆς Ὁσίας καὶ Θεοφόρου Μητρὸς ἡμῶν Φιλοθέης τῆς ἐξ Ἀθηνῶν.

Στίχοι:

Ἡ Φιλοθέη τῶν τῇδε μεταστᾶσα,
Χαίρουσ᾽ ἀνῆλθε πρὸς Μονὰς οὐρανίους.

Ὠδὴ ζ'. Ὁ διασώσας ἐν πυρί.

Φαεινοτάταις ἀστραπαίς, τῆς Ὑπερουσίου Τριάδος, καταλαμπρύνασα τὸν νοῦν, βοᾷς σὺν Ἀγγέλοις ἢ

παρίστασαι· Ὑπερύμνητε Κύριε, ὁ Θεὸς ὁ τῶν Πατέρων, εὐλογητὸς εἶ.

Ἱερωτάτοις λειτουργοῖς, τοῖς παρισταμένοις τῷ θρόνῳ τῆς τρισηλίου ἀστραπῆς τοῦ Θεοῦ, συγχορεύεις κραυγάζουσα· Ὑπερύμνητε Κύριε, ὁ Θεὸς ὁ τῶν Πατέρων, εὐλογητὸς εἶ.

Λιμένα εὔδιον ψυχῶν, Μῆτερ δειμαμένη τοὺς ζάλῃ, καὶ τρικυμίαις τῶν παθῶν, ναυαγοῦντας γαλήνης ἠξίωσας, ὅθεν οἱ σωθέντες κραυγάζουσιν· ὁ Θεὸς ὁ τῶν Πατέρων, εὐλογητὸς εἶ.

Θεοτοκίον.

Ἡ τὸν προάναρχον Υἱόν, Μῆτερ τοῦ Πατρὸς δεξαμένη, ἐν τῇ γαστρί Σου μητρικῶς, Σὸν Υἱὸν ἐκδυσώπει ποίμνην τηρεῖν, τῆς Φιλοθέης ᾄδουσαν· ὁ Θεὸς ὁ τῶν Πατέρων, εὐλογητὸς εἶ.

Ὠδὴ η΄. Παῖδας εὐαγεῖς.

Ανῆλθες πρὸς γνῶσιν θεωρίας, και πάντα σαφῶς μεμύησαι τοῦ Πνεύματος, ἄδυτα μυστήρια, πᾶσι δὲ κατήγγειλας, τοῖς προσφοιτῶσι πάνσεπτε, σοὶ καὶ κραυγάζουσι· Τὸν Κύριον,ὑμνεῖτε τὰ ἔργα, καὶ ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

Δόξης καταφρονήσας τῆς κάτω, καὶ πᾶσα διάνοιαν ἐπτέρωσας, ἀρετῶν κουφότητι, ὅθεν καὶ ἀνύψωσαι, πρὸς θεῖον ὕψος ἄῤῥητον, ᾧ χαίρεις ψάλλουσα· Τὸν Κύριον,ὑμνεῖτε τὰ ἔργα, καὶ ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

Ὤφθης ὀρφανῶν τροφὸς καὶ μήτηρ, καὶ πάντων ἀδικουμένων ἡ ἀντίληψις, τῶν ἐν νόσοις ἴασις, αἰχμαλώτων λύτρωσις, καὶ τοῖς ἐν λύπαις πάνσεμνε, χαρὰ τοῖς ψάλλουσι· Τὸν Κύριον,ὑμνεῖτε τὰ ἔργα, καὶ ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

Θεοτοκίον.

Ἴασαι ἁγνὴ τὰς ἀσθενείας, τῶν πίστει προστρεχόντων Σοι Θεόνυμφε, καὶ ὁμολογούντων Σε, Θεοτόκον Ἄχραντε, ὡς τὸν Θεὸν γεννήσασαν, ᾧ πάντες ψάλλομεν· Τὸν Κύριον,ὑμνεῖτε τὰ ἔργα, καὶ ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

Ὠδὴ θ΄. Ἅπας γηγενής.

Ἔχου πρὸς ὑπαντήν, Ἀγγέλων συστήματα Μῆτερ κατήρχετο, καὶ ὁ τῶν Ὁσίων δέ, χορὸς σὺν τούτοις θείοις ἐν ᾄσμασιν, ἐπηκολούθει πάνσεμνε, ἀναγομένης σου, εἰς τὰ ἄνω, πάντερπνα σκηνώματα, ὧν Χριστός σοι τὰς πύλας ἀνέῳξε.

Ἄνθος χρυσαυγές, ποικίλον χρυσόχροον, καὶ εὐωδίας μεστόν, τοῖς ἐν ταῖς Ἀθήναις νῦν, ταῖς χρυσιζούσαις Μῆτερ ἐξήνθησας, καὶ πᾶσαν εὐωδίασας, καὶ κατελάμπρυνας, τὴν πατρίδα καὶ τοὺς σοὺς γεννήτορας, τῶν χαρίτων τῶν σῶν τῇ τερπνότητι.

Ἄνω σε Χριστός, καλέσας εἰς ἄληκτον ζωὴν μετήνεγκεν, ὅν καθικετεύουσα, μὴ παύσῃ Μῆτερ ὑπὲρ τῶν πίστει σου, τὴν ἱερὰν μετάστασιν ὑμνούντων πάντερπνε, καὶ βοώντων· Χαίροις ἀξιέπαινε, Φιλοθέη τὸ ῥόδον τὸ εὔχροον.

Θεοτοκίον.

Κύριον Ἁγνή, Παρθένε ὅν ἔτεκες Τοῦτον δυσώπησον, ἄτρωτον τηρεῖν ἀεί, τὴν νεολαίαν, ἥν ἡ φιλόθεος, τὸν Σὸν ὑμνεῖν συνήγαγε τόκον Πανάμωμε, ἐκ παντοίων πολέμων Ἄχραντε, αἰσθητῶν και ἀΰλων θεόνυμφε.

Ἐξαποστειλάριον. Γυναῖκες ἀκουτίσθητε.

Ἀγάλλου τέρπου χόρευε, πᾶς ὁ λαὸς τὴν σήμερον, τῆς Φιλοθέης τὴν μνήμην, πανηγυρίζοντες πάντες· ἰδοὺ γὰρ καταλείψασα, τὸν κόσμον τὸν ἐπίκηρον, πρὸς τὰς μονὰς ἐλήλυθε, τὰς οὐρανίους καὶ χαίρει, ὑπὲρ ἡμῶν καὶ πρεσβεύει.

Θεοτοκίον.

Μαρία καθαρώτατον, χρυσοῦν θυμιατήριον, τῆς ἀχωρήτου Τριάδος, δοχεῖον γεγενημένη, ἐν ᾧ Πατὴρ ηὐδόκησεν, ὁ δὲ Υἱὸς ἐσκήνωσε, καὶ Πνεῦμα τὸ Πανάγιον, ἐπισκιάσαν Σοι Κόρη, ἀνέδειξε Θεοτόκον.

Εἰς τοὺς Αἴνους.

Ὁ ἐξ Ὑψίστου κληθείς. Ἦχος δ΄.

Σήμερον χαίρει ἡ γῆ καὶ συγχορεύει, διδοῦσα τὸ βλάστημα αὐτῆς εἰς χεῖρας Θεοῦ, ὡς θεῖον δῶρον καὶ μέγιστον, τὴν Φιλοθέην, τὴν ἐν Ἀθήναις ἀναβλαστήσασαν. Εὐφραίνεται ἅπασα, τῶν οὐρανῶν ἡ πληθύς, ὡς δεξαμένη τὴν ἄσπιλον, καὶ θειοτάτην, καὶ ὅλην οὖσαν Θεοῦ κατοίκησιν. Χαίρει δὲ μᾶλλον καὶ ἀγάλλεται, Ἰησοῦ Χριστὲ ὁ Θεὸς ἡμῶν, ὅς ἀνήγαγε ταύτην εἰς τὰ ἄδυτα βασίλεια. (Δὶς).

Ἡ ἱλαρὰ τὴν ψυχὴν καὶ τὴν καρδίαν, ἥλιος ὁ πάμφωτος, ἀστὴρ λαμπρότατος[11], περιστερὰ ἡ ἀκέραιος,ἡ Φιλοθέη, ἡ μῦρο οὖσα καὶ μῆλον πάγχρυσον, ἡ ὅλη μυρίσασα, καὶ χαριτώσασα, νοῦν καὶ ψυχὴν καὶ καρδίαν τε, σὺν τῷ σαρκίῳ, καὶ γενομένη φῶς καὶ ἀπαύγασμα, νῦν δὲ ἀφεῖσα τὰ ἐπίκηρα, ἀνελήλυθεν ὄντως πρὸς Κύριον, καὶ πρεσβεύει ἀπαύστως, τοῦ σωθῆναι τὰς ψυχὰςἡμῶν.

Φυτὸν ὡραῖον ἐβλάστησε και κλάδον, ἡ θεία Μητρόπολις τῶν Ἀθηνῶν ἡ λαμπρά, φέρον καρπὸν εὐωδέστατον, πλήρη χαρίτων, γλυκὺν εἰς γεῦσιν καὶ θυμηδέστατον, τὴν θείαν καὶ ἄσπιλον καὶ θεοδόξαστον, τὴν Φιλοθέην τὴν πράξει τε καὶ θεωρίᾳ, κατακοσμοῦσαν ψυχὴν τοῦ σώματος, ὅθεν ἐν ὕμνοις μεγαλύνομεν, καὶ γεραίρομεν ταύτης τὴν κοίμησιν, ἐν ψαλμοῖς μελιῤῥύτοις, καὶ τερπνοῖς τοῖς μελῳδήμασιν.

Δόξα. Ἦχος β΄.

Τῶν ὑπὲρ νοῦν ἀγαθῶν, δεξαμένη ἔρωτα, πάντα τὰ ἐν κόσμῳ τερπνά, ὑπερεῖδες θεόληπτε, ἐντεῦθεν γὰρ τῷ καρπῷ οὐχ ἑάλως, καθάπερ Ἀδάμ, τὸν ὄφιν δὲ ἀποκρουσαμένη δι’ ἐγκρατείας ἀγγελικῶς τὸν βίον διήνυσας. Καὶ νῦν ἐν οὐρανοῖς αὐλίζῃ, ἐπαπολαύουσα τοῦ ξύλου τῆς ζωῆς, Θεὸν ἱλεουμένην ὑπὲρ ἡμῶν, τῶν πιστῶς ἐκτελούντων, ἡγιασμένη Φιλοθέη τὴν μνήμην σου.

Καὶ νῦν. Θεοτοκίον.

Τὴν πᾶσαν ἐλπίδα μου εἰς σὲ ἀνατίθημι, Μῆτερ, τοῦ Θεοῦ, φύλαξὸν με ὑπό τὴν σκέπην σου.

Δοξολογία Μεγάλη καὶ Ἀπόλυσις.

